www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ ΠΛΗΡΕΣΤΑΤΗ

## ΒΙΟΣ ΚΑΙ ΘΑΥΜΑΤΑ

ΤΩΝ ΕΝ ΜΕΓΑΡΟΙΣ ΑΝΕΥΡΕΘΕΝΤΩΝ ΑΓΙΩΝ

# ΜΑΡΤΥΡΩΝ

# ΣΕΡΑΦΕΙΜ, ΔΩΡΟΘΕΟΥ, ΙΑΚΩΒΟΥ, ΒΑΣΙΛΕΙΟΥ ΔΗΜΗΤΡΙΟΥ ΚΑΙ ΣΑΡΑΝΤΗ

Νεωστὶ τυπωθεῖσα καὶ ἐρανισθεῖσα ἐκ χειρογράφων


ΕΠΙΜΕΛΕΙᾼ

ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΧΡ. ΔΟΥΚΑΚΗ

Τοῦ ἐκ Καλαμῶν τῆς Πελοποννήσου, προσκυνητοῦ.

ΥΠΟ

ΑΘΑΝΑΣΙΟΥ Ι. ΠΑΠΑΣΙΔΕΡΗ

Μεγαρέως


ΕΚΔΙΔΟΤΑΙ ΦΙΛΟΤΙΜῼ ΚΟΙΝῌ ΔΑΠΑΝῌ

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ... ΝΤΟΡΗΣ ΠΑΠΑΣΤΡΑΤΟΥ


ΕΝ ΑΘΗΝΑΙΣ

ΚΩΝΣΤΑΝΤΙΝΟΣ Χ. ΔΟΥΚΑΚΗΣ

**36 Ὁδὸς Πετράκη 36.**

1896

www.tezaurliturgic.ro

# ΠΡΟΛΟΓΟΣ

«Ἂς εἶσαι εὐλογητός, καὶ δεδοξασμένος εἰς τοὺς αἰῶνας Κύριε ἡμῶν Ἰησοῦ Χριστέ»· ὁ μαρτυρήσας ἐπὶ Ποντίου Πιλάτου τὴν καλὴν ὁμομογίαν (α΄. Τιμ. ϛ΄. 13.) καὶ διὰ τοῦτο Πρωτομάρτυς ἀληθῶς, καὶ τῶν ἀθλητῶν ἁπάντων πρωταθλητής, καὶ ὢν καὶ ὀνομαζόμενος· διότι καὶ εἰς τοὺς μετέπειτα τούτους χρόνους εὐδόκησας ὑπὲρ τοῦ ὀνόματός σου νὰ ἀναφαίνωνται νέοι μάρτυρες.

Ταύτην τὴν εὐχαριστήριον δοξολογίαν χρεωστεῖ νὰ ἀναπέμψῃ ἀπὸ καρδίας, ὅστις δήποτε λάβῃ εἰς τὰς χεῖράς του, διὰ νὰ ἀναγνώσῃ, τὴν παροῦσαν νεωστὶ τυπωθεῖσαν Ἀκολουθίαν τῶν Νεοφανέντων ἐν Μεγάροις Μαρτύρων Σεραφείμ, Δωροθέου, Ἰακώβου, Βασιλείου, Δημητρίου, καὶ Σαράντη. Καὶ νὰ ἀναπέμψῃ, ταύτην ὄχι ἅπαξ, ἢ δίς, ἢ τρὶς ἀλλὰ ἑξάκις, ὅσοι εἶναι καὶ οἱ ἐνταῦθα περιεχόμενοι Μάρτυρες. Διότι πῶς δὲν εἶναι δίκαιον, νὰ δοξολογῇ τὶς πολλάκις τὸν Κύριον, βλέπων διὰ τῆς παρούσης Ἀκολουθίας, ὅτι καὶ τώρα εἰς τοὺς ἰδικούς μας χρόνους ἀνατέλλουσιν ἀπὸ διάφορα μέρη τοῦ κόσμου εἰς τὸν νοητὸν τῆς Ἐκκλησίας στερέωμα, ὥσπερ ἄλλοι Νεοφανεῖς ἀστέρες, καὶ κομῆται Νέοι ἀθληταὶ τοῦ Χριστοῦ, καὶ στρατιῶται ἀήττητοι; καὶ καταλάμπουσιν, ὅλων τῶν Ὀρθοδόξων, τὸ πλήρωμα, μὲ τὰς γλυκυτάτας ἀκτῖνας τοῦ μαρτυρίου, καὶ τῶν θαυμάτων των.

Λοιπὸν φιλόχριστοι ἀναγνῶσται, καὶ ἀδελφοὶ ἐν Χριστῷ δέξασθε τὴν νεότυπον ταύτην ἀκολουθίαν τῶν ἀναφανέντων νέων Μαρτύρων καί εὔχεσθε ὑπὲρ τῶν κοπιασάντων καὶ δαπανησάντων ὅπως φέρωσιν εἰς φῶς τοῦ τύπου τὴν παροῦσαν ἀκολουθίαν μετὰ τῶν βίων τῶν ἀναφανέντων νέων Μαρτύρων. Τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ ἡ χάρις καὶ τὸ ἔλεος εἴη μετὰ τῶν ἀναγινωσκόντων καὶ ἑορταζόντων εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν καὶ συνδρομητῶν. Ἀμήν Γένοιτο.

**Ὁ ἐκδότης**

# ΤΗι ΙΣΤ΄ ΑΥΓΟΥΣΤΟΥ

ΜΝΗΜΗΝ ΕΠΙΤΕΛΟΥΜΕΝ

ΕΠΙ ΤΗΣ ΑΝΕΥΡΕΣΕΩΣ ΤΩΝ ΙΕΡΩΝ ΛΕΙΨΑΝΩΝ

Τῶν ἐν Μεγάροις Ἁγίων Μαρτύρων

## ΣΕΡΑΦΕΙΜ, ΔΩΡΟΘΕΟΥ, ΙΑΚΩΒΟΥ, ΔΗΜΗΤΡΙΟΥ ΒΑΣΙΛΕΙΟΥ ΚΑΙ ΣΑΡΑΝΤΗ

Ἐν τῷ Μεγάλῳ Ἑσπερινῷ μετὰ τὸν Προοιμιακὸν τὸ Μακάριος ἀνήρ. Εἰς τὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους. Η΄. καὶ ψάλλομεν τὰ παρόντα προσόμοια τῶν Μαρτύρων ϛ΄. καὶ τῆς κοιμήσεως β΄.

Τῶν Μαρτύρων. Ἦχος δ΄. Ἔδωκας σημείωσιν

Αἴγλῃ φωτιζόμενοι, τῆς τρισηλίου Θεότητος, σκοτασμὸν παρεδράμετε, βασάνων καὶ ὤφθητε, φωτεινοὶ ἀστέρες, τὸ τῆς Ἐκκλησίας θεῖον στερέωμα ἀεί, φωταγωγοῦντες Ἅγιοι Μάρτυρες· διὸ τὴν φωταυγῆ ὑμῶν ἐπιτελοῦμεν πανήγυριν, προσκυνοῦντες τὰ λείψανα, καὶ τὴν κόνιν τοῦ σώματος.

Σεραφεὶμ καὶ Ἰάκωβον σὺν Δωροθέῳ τῷ πάνυ τοὺς γενναίους ἀδάμαντας, Δημήτριον, Βασίλειον καὶ Σαράντην πάντες, ἐν ἀγαλλιάσει, νῦν μακαρίσωμεν πιστοί, ὑπὲρ Τριάδος στερρῶς ἀθλήσαντας, καὶ πάσας τὰ τοῦ δράκοντος, μηχανουργίας πατήσαντας καὶ τὸ σκότος μειώσαντας, τῶν εἰδώλων ἐν χάριτι.

Αἵματι ὠνήσασθε, τὴν βασιλείαν μακάριοι, τοῦ Θεοῦ τὴν ἀσάλευτον, καὶ ὅρμους ἐφθάσατε, τοὺς γαληνοτάτους, πᾶσαν τρικυμίαν, ὑπενεγκόντες τῶν δεινῶν, γνώμης ἀνδρείᾳ θεομακάριστοι· ἐντεῦθεν μακαρίζεσθε, νῦν ἱκετεύοντες πάντοτε, τοῦ εὑρεῖν ἡμᾶς ἔλεος, ἐν ἡμέρᾳ τῆς κρίσεως.

Ἦχος δ΄. ὡς γενναῖον ἐν Μάρτυσιν

Ἰατρεύειν παθήματα, φυγαδεύειν νοσήματα, ἀπελαύνειν πνεύματα πονηρότατα, τῇ συνεργείᾳ τοῦ Πνεύματος, παμμακάριστοι Μάρτυρες, ἀφανίσαντες ἀνδρικῶς τὰ ἐκείνων σεβάσματα ταῖς ἐνστάσεσιν, ἀθληταὶ τῶν Μαρτύρων στεφηφόροι, συμπολῖται τῶν Ἀγγέλων, καὶ ἀθλοφόρων ὁμόσκηνοι.

www.tezaurliturgic.ro



Τὸν ἀγῶνα ἠγώνιστε καὶ τὸν δρόμον τελέσαντες, καὶ τὴν πίστιν ἔνδοξοι συντηρήσαντες, καὶ πρὸς Θεὸν προσχωρήσαντες, βραβεῖον τὰ θαύματα παρ᾽ οὗ ἀπολάβετε, καὶ τῆς νίκης τὸν στέφανον τὸν ἀμάραντον, ὡς ἀήττητοι Μάρτυρες τῆς ἄνω, βασιλείας κληρονόμοι, ὑπὲρ τοῦ κόσμου δεόμενοι. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Ἀγαλλιᾶται καὶ χαίρει πανηγυρίζουσα, ἡ πόλις τῶν Μεγάρων τῇ ὑμῶν θείᾳ μνήμῃ, πλουτήσασα καὶ γὰρ τοὺς ποιμένας αὐτῆς, καὶ προστάτας θερμότατα, ἐκ πειρασμῶν καὶ κινδύνων παντοδαπῶν ἐκλυτροῦται ταῖς πρεσβείαις ὑμῶν Ἅγιοι.

Ἕτερα προσόμοια τῆς κοιμήσεως. Ἦχος α΄. αὐτόμελον.

Ὢ τοῦ παραδόξου θαύματος! ἡ πηγὴ τῆς ζωῆς, ἐν μνημείῳ τίθεται, καὶ κλίμαξ πρὸς οὐρανόν, ὁ τάφος γίνεται. Εὐφραίνου Γεθσημανῆ, τῆς Θεοτόκου τὸ ἅγιον τέμενος. Βοήσωμεν οἱ πιστοί, τὸν Γαβριὴλ κεκτημένη ταξίαρχον. Κεχαριτωμένη χαῖρε, μετὰ σοῦ ὁ Κύριος, ὁ παρέχων τῷ κόσμῳ, διὰ σοῦ τὸ μέγα ἔλεος.

Βαβαὶ τῶν σῶν μυστηρίων ἁγνή! τοῦ Ὑψίστου θρόνος, ἀνεδείχθης Δέσποινα, καὶ γῆθεν πρὸς οὐρανόν, μετέστης σήμερον. Ἡ δόξα σου εὐπρεπής, θεοφεγγέσιν ἐκλάμπουσα χάριτι. Παρθένοι σὺν τῇ Μητρί, τοῦ βασιλέως πρὸς ὕψος ἐπάρθητε. Κεχαριτωμένη χαῖρε μετὰ σοῦ ὁ Κύριος, ὁ παρέχων τῷ κόσμῳ διὰ σοῦ τὸ μέγα ἔλεος. Δόξα. Ἦχος πλ. β΄.

Ἐξέλαμψε σήμερον ἡ τῶν Μαρτύρων μνήμη, καταυγάζουσα πιστῶν τὰς διανοίας, καὶ εὐφραίνουσα ὀρθοδόξων τὰς καρδίας, ἐν ᾗ συνελθόντες οἱ πιστοί, πνευματικῶς πανηγυρίζομεν, καὶ τοὺς ἐν μέσῳ ἡμῶν ἀοράτως παρεστῶτας, τοὺς Μάρτυρας καὶ προστάτας, ᾀσματικοῖς ἐγκωμίοις ἀνευφημοῦμεν ἀεί, τὸν Σωτῆρα Κύριον δοξάζοντες τὸν σώζοντα ἡμᾶς ταῖς ἱκεσίαις αὐτῶν. Καὶ νῦν Ἦχος β΄. τῆς κοιμήσεως.

Ἡ τῶν οὐρανῶν ὑψηλοτέρα ὑπάρχουσα, καὶ τῶν Χερουβὶμ ἐνδοξοτέρα, καὶ πάσης κτήσεως τιμιωτέρα· ἡ δι᾽ ὑπερβάλλουσαι καθαρότητα, τῆς ἀϊδίου οὐσίας δοχεῖον γεγενημένη, ἐν ταῖς τοῦ Υἱοῦ χερσί, σήμερον τὴν παναγίαν παρατίθεται ψυχήν, καὶ σὺν αὐτῇ πληροῦται τὰ σύμπαντα χαρᾶς, καὶ ἡμῖν δωρεῖται τὸ μέγα ἔλεος.

Εἴσοδος. Φῶς ἱλαρόν, τὸ προκείμενον τῆς ἡμέραν καὶ τὰ ἀναγνώσματα. Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα. Κεφ. γ΄. 1.

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία, σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείραξεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ



ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτοὺς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίων τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλα τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἀλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι· ἀγανακτήσεις κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρομένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα,

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι, φρόνησις ἀνθρώποις· καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη μὴ κακία ἀλλάξῃ, σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ. Εἰς τὴν λιτήν. Στιχηρὰ ἰδιόμελα. Ἦχος α΄.

Δεῦτε πάντες οἱ πιστοί, τὴν ἐτήσιον μνήμην τῶν ἁγίων Μαρτύρων μετ᾽ ἐγκωμίων ὑμνήσωμεν λέγοντες. Χαίρετε ἀθλοφόροι καὶ Μάρτυρες, οἱ τῶν τυράννων τὰ θράση καταργήσαντες, καὶ τῶν κακοδόξων τὴν ἄνοιαν ἀπελεγξάντες. Χαίρετε τῶν Μεγάρων τὸ θεῖον θησαύρισμα καὶ ὀρθοδόξων τὸ ἄσειστον ἔρεισμα. Χαίρετε οἱ διὰ Χριστὸν τὸν Δεσπότην

www.tezaurliturgic.ro



τὴν μὲν ἀκμὴν τοῦ σώματος ταῖς βασάνοις καταναλώσαντες τὴν δὲ ψυχὴν ταῖς ἀκτίσι τοῦ πνεύματος ἐκλαμπρύναντες. Χαίρετε οἱ πρεσβεύοντες πάντοτε, ὑπὲρ τῶν πίστει καὶ πόθῳ τελούντων τὴν μνήμην ὑμῶν.

Ἦχος β'.

Ω τοῦ παραδόξου θαύματος! ὥσπερ ζῶντες οἱ Μάρτυρες, καὶ θανόντες ἐν λάρνακι, ταῖς τιμίαις αὐτῶν χερσί, τὸν ἡμέτερον Τόμον ἐπέφερον, τὸν δὲ τῶν αἱρετικῶν τοῖς ποσὶ κατεπάτησαν· ἐκφαυλίζοντες τούτων τὸ κακόνουν καὶ βλάσφημον, τῶν δὲ πιστῶν κρατύνοντες τὸ ὀρθὸν καὶ ἀκίβδηλον·ἵνα μέν καθυπόστασιν τὸν Χριστὸν κηρυττόντων, διπλοῦν δὲ κατὰ φῦσιν καὶ θέλησιν, ὧν ταῖς πρεσβείαις Χριστὲ ὁ Θεός, εἰρήνην ταῖς Ἐκκλησίαις σου δώρησαι, καὶ ταῖς ψυχαῖς ἡμῶν τὸ μέγα ἔλεος. Ἦχος γ'.

Τοὺς ἐν ἀγῶνι ἀθλήσαντας Μάρτυρας ὑπὲρ πίστεως, οὓς ὑπὲρ Χριστοῦ ἠγωνήσαντο, ἐκ στρατιᾶς συνάψαντες φύλλον, ἐπαξίως τὶς διηγήσεται; ἢ τὶς ἐξειπεῖν κατισχύσει τῶν ἀρετῶν, οἷς τὰ προτερήματα τῶν θαυμάτων αὐτῶν, τὰ πλήθη Μάρτυρες πανεύφημοι, τότε στερρὸν τῶν ὀρθῶν δογμάτων, καὶ ὀρθοδοξίας τὸ μόνιμον, διὸ ὑπὸ τῶν θείων πατέρων τὸν τῆς πίστεως ὅρον, ὡς ζηλωταὶ ταύτης πιστεύσαντες ἥν περ φυλάττοντες πάντοτε ἀπαράτρεπτον, καὶ ποθοῦντες ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος δ'.

Μαρτυρικὴν πανήγυριν ἐπὶ γῆς τελουμένην, κατοπτεύοντες σήμερον, εὐφρανθῶμεν τῷ πνεύματι, καὶ σκιρτήσωμεν ἀγαλλόμενοι· συνεκάλεσε γὰρ ἡμᾶς ἡ τῶν Μαρτύρων φήμη, διὰ τοῦ ἱεροῦ καὶ καλοῦ τῆς ἐκκλησίας ποιμένος· καὶ πρασθέντες ἡμᾶς αὐτούς, συγχωρεῖν ἑκάστῳ, τὸν ἁγιασμὸν ἀπαρύσασθαι. Προσέλθωμεν δ' ἐν πίστει καὶ ἀδιστάκτῳ διανοίᾳ, μηδὲν ὑφορώμενοι, ἵνα ἐκ τῆς ἁγίας Σοροῦ ἀπαντλήσωμεν ἀφθόνως τῶν νοσημάτων τὴν ἴασιν, αἰτούμενοι συγχώρησιν παρὰ Χριστοῦ τοῦ Θεοῦ καὶ τὸ μέγα ἔλεος. Τῆς Κοιμήσεως. Ἦχος β' Ἀνατολίου.

Η τῶν οὐρανῶν ὑψηλοτέρα ὑπάρχουσα, καὶ τῶν Χερουβὶμ ἐνδοξοτέρα, καὶ πάσης κτίσεως τιμιωτέρα· ἡ δ' ὑπερβάλλουσαν καθαρότητα τῆς ἀϊδίου οὐσίας δοχεῖον γεγενημένη, ἐν ταῖς τοῦ Υἱοῦ χερσί, σήμερον τὴν παναγίαν παρατίθεται ψυχήν, καὶ σὺν αὐτῇ πληροῖ τὰ σύμπαντα χαρᾶς, καὶ ἡμῖν δωρεῖται τὸ μέγα ἔλεος. Ὁ αὐτός. Ἰωάννου.

Η πανάμωμος νύμφη, καὶ Μήτηρ τῆς εὐδοκίας τοῦ Πατρός· ἡ Θεῷ προορισθεῖσα εἰς ἑαυτοῦ κατοίκησιν, τῆς ἀσυγχύτου ἑνώσεως, σήμερον τὴν ἄχραντον ψυχήν, τῷ ποιητῇ καὶ Θεῷ παρατίθεται· ἣν ἀσωμάτων Δύναμις θεοπρεπῶς ὑποδέχονται· καὶ πρὸς ζωὴν μετατίθεται ἡ ὄντως Μήτηρ τῆς Ζωῆς, ἡ λαμπὰς τοῦ ἀπροσίτου φωτός, ἡ σωτηρία τῶν πιστῶν, καὶ ἐλπὶς τῶν ψυχῶν ἡμῶν- Ἦχος γ'. Γερμανοῦ.

Δεῦτε ἅπαντα τὰ πέρατα τῆς γῆς, τὴν σεπτὴν Μετάστασιν τῆς Θεομήτορος μακαρίσωμεν· ἐν χερσὶ γὰρ τοῦ Υἱοῦ, τὴν ψυχὴν τὴν ἄμωμον ἐναπέθετο· ὅθεν τῇ Ἁγίᾳ Κοιμήσει αὐτῆς, ὁ κόσμος ἀνεζωοποιήθη, ἐν ψαλμοῖς καὶ ὕμνοις, καὶ ᾠδαῖς πνευματικαῖς μετὰ τῶν Ἀσωμάτων, καὶ τῶν Ἀποστόλων ἑορτάζων φαιδρῶς. Δόξα. Ἦχος β'.



Εἰς τὰ ὑπερκόσμια σκηνώματα, τὰ θαύματα ὑμῶν Μάρτυρες σοφοί, Χριστὸς ὁ Θεὸς προσήκατο ἀμώμητα. Ὑμεῖς γὰρ τῆς Τριάδος γεγόνατε ὑπέρμαχοι, καὶ ἐν σταδίῳ ἀνδρείας ἐναθλήσαντες, ὡς ἀδάμαντες στεροὶ μιμούμενοι, τὸν ἐπὶ ξύλου τανυσθέντα, εἰς σωτηρίαν παντὸς τοῦ κόσμου, τῶν θαυμάτων εἰλήφατε τὴν ἐνέργειαν· ἀνθρώποις τε καὶ κτήνεσι, παρέχοντες τὰς ἰάσεις ἀφθόνως, δι' ὃ ὑμῶν σήμερον τὴν τῶν λειψάνων εὕρεσιν ἑορτάζοντες ἐπαξίως, δοξάζομεν τὸν ὑμᾶς δοξάσαντα Κύριον. Καὶ νῦν. Ἦχος πλ. α'. τῆς Κοιμήσεως.

Ἄσατε λαοί, τῇ Μητρὶ τοῦ Θεοῦ ἡμῶν, ᾄσατε· σήμερον γὰρ τὴν ὁλόφωτον ψυχὴν αὐτῆς, εἰς τὰς ἀχράντους παλάμας, τοῦ ἐξ αὐτῆς σαρκωθέντος ἄνευ σπορᾶς παρατίθησιν· ᾧ καὶ πρεσβεύει ἀδιαλείπτως, δωρηθῆναι τῇ οἰκουμένῃ, εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Εἰς τὸν στίχον στιχηρὰ προσόμοια. Ἦχος α'. Τοῦ λίθου σφραγισθέντος.

Ως καλοὶ στρατιῶτοι ὁμοφώνως πιστεύσαντες, τὰς ἀπειλὰς τῶν τυράνων μὴ πτοούμενοι ἅγιοι. Σεραφεὶμ καὶ Ἰάκωβε, σὺν Δωροθέῳ τῷ σοφῷ, προσήλθατε προθύμως τῷ Χριστῷ, ἀράμενοι τὸν τίμιον σταυρόν, καὶ τελέσαντες τὸν δρόμον, ἐξ οὐρανοῦ τὴν νίκην ἐδέξασθε.

Στιχ. Ὑπομένω ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.

Οἱ ἐπιπόθετοι Θεῷ μεγαλώνυμοι, οἱ ἀθλοφόροι Χριστοῦ καὶ ἐπίγειοι ἄγγελοι, Δημήτριος, Βασίλειος σὺν αὐτοῖς καὶ Σαράντης, αἱ τῆς ὑφηλίου, ἱεραὶ Ἐκκλησίαι εὐφραίνουσι σήμερον, καὶ ἑορτάζει ἀεὶ τῶν Μεγάρων ἡ πόλις, παρασκευάζουσα αὐτῶν ἐν χαρᾷ τὸ μνημόσυνον.

Στίχ. Καὶ ἔστησεν ἐπὶ πέτρα τοὺς πόδας μου, καὶ κατεύθυνε τὰ διαβήμ.

Η πληθὺς τῶν Μεγάρων φιλεόρτων τὰ στήφη, πανήγυριν φαιδρὰν συγκροτοῦντες τιμήσωμεν, τὴν μνήμην θερμῶς, τῶν ἁγίων Μαρτύρων, Σεραφεὶμ καὶ Δωρόθεον σὺν αὐτοῖς Ἰακώβῳ, τοὺς πιστοὺς στρατιώτας αἰτησάμενοι, ἐν ἀνάγκῃ ρυσθέντες τοῦ πονηροῦ, τὴν τιμῶσαν σας πόλιν, ἣν πάλαι φυλλάττεται. Δόξα. Ἦχος δ'.

Αστέρες ὑπέρλαμπροι τῇ Ἐκκλησίᾳ ἀνεδείξατε, Σεραφεὶμ τὸν πανεύφημον, ὁπλίτην τε ἄριστον. Ἰάκωβον καὶ Δωρόθεον, δαδαχοῦντες πάντας νῦν τοῖς ἐν Μεγάροις, θαυματουργίαις μυστικαῖς; καὶ πᾶσαν νόσον ἐθεραπεύοντο, ἐν ἀνθρώποις καὶ κτήνεσι, Ἰησοῦ Παντοδύναμε, ὁ Σωτὴρ τῶν ψυχῶν ἡμῶν. Καὶ νῦν. Ἦχος β'. Οἶκος τοῦ ἐφραθᾶ.

Δέσποινα ἀγαθή, τὰς ἁγίας σου χεῖρας, πρὸς τὸν Υἱόν σου ἆρον, τὸν φιλόψυχον πλάστην, οἰκτειρῆσαι τοὺς δούλους σου.

www.tezaurliturgic.ro



Ἀπολυτίκιον. Ἦχος πλ. α'. τὸν συνάναρχον Λόγον.

Τῶν Μεγάρων ἡ πόλις χαίρουσα σήμερον, τῶν λειψάνων Μαρτύρων τὴν θείαν εὕρεσιν, ἀναβρύοντα πηγὰς τῶν ἰάσεων, πάντας ἐν πίστει σώζοντας, τοῖς προστρέχουσιν αὐτοῖς ἐκ νοσημάτων παντοίων, προσκυνήσωμεν ὅθεν τὴν θείαν μνήμην αὐτῶν. Καὶ τῆς Ἑορτῆς. Ἐν τῇ Γεννήσει τὴν παρθενίαν ἣ Θεοτοκ.

Χαῖρε πύλη Κυρίου ἡ ἀδιόδευτος. Χαῖρε τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ. Χαῖρε ἀχείμαστε λιμὴν καὶ ἀπειρόγαμε· ἡ τεκοῦσα ἐν σαρκί, τὸν ποιητήν σου καὶ Θεόν, πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν Τόκον σου. Καὶ ἀπόλυσις.

## ΕΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετὰ τὴν α'. στιχολογίαν. Κάθισμα. Ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Μεγάρων ἡ πληθὺς συνεόρταζε πᾶσα. καὶ σκίρτα μυστικῶς· τῶν Μαρτύρων τὴν δόξαν, προτίθεται σήμερον, ἰατρεῖον ἀδάπανον, τοῖς προστρέχουσι, μετ' εὐλαβείας καὶ πόθῳ καὶ δοξάζουσι τὸν ἐν αὐτῷ προσπαγέντα, Χριστὸν τὸν φιλάνθρωπον. δίς.

Δόξα. Ἦχος δ'. Ἐπεφάνη σήμερον.

Τῇ ἐνδόξῳ μνήμῃ σας Μάρτυρες θεῖοι τῷ ἀΰλῳ πνεύματι πεποικιλμένοι νοερῶς ἐν εὐφροσύνῃ κραυγάζοντες. Χαίρετε Μάρτυρες ὀρθοδόξων τὸ καύχημα. Καὶ νῦν. Θεοτοκίον.

Τὴν σεπτὴν Μετάστασιν, σοῦ Παναγία, ἑορτὴν στησάμενοι, σὲ ἀνυμνοῦμεν εὐσεβῶς, Θεογεννήτωρ πανύμνητε· μὴ οὖν παρίδῃς, τοὺς πόθῳ ὑμνοῦντάς σε.

Μετὰ τὴν β'. στιχολογίαν. Κάθισμα. Ἦχος γ' Τὴν ὡραιότητα.

Τὴν γενναιότητα τῶν σῶν ἀθλήσεων, καὶ καρτερότητα τῶν μαρτυρίων σας, ἀνευφημοῦντες οἱ πιστοὶ βοήσωμεν γηθοσύνως, σκέπῃ σοῖς ἐρύεσθαι ἐκ παντοίων κακώσεων, καὶ ἐκ περιστάσεως πάσης βλάβης καὶ θλίψεως, τοὺς ὑμνολογοῦντας ἐν πόθῳ τὴν πανεύδοξον μνήμην σας. Δόξα ἦχ. δ'. Ταχὺ προκατέβαλε.

Ἡ μνήμη ὑμῶν ἔνδοξοι, Μάρτυρες πάνσοφοι, ἐφαίδρυνε σήμερον, τὴν Ἐκκλησίαν τοῦ Χριστοῦ, καὶ πάντας συνήγαγεν ᾄσμασιν ἐπαξίως εὐφημεῖν ἡμᾶς. Ὅθεν ὡς ὄντως στρατιώτας, καὶ ἐχθρῶν καθαιρέτας· διὸ ταῖς ἱκεσίαις ὑμῶν ρύσασθαι ὑμᾶς πειρασμῶν.



Καὶ νῦν ἦχος δ'. ὁ ὑψωθεὶς ἐν τῷ σταυρῷ. Θεοτοκίον.

Τῶν ἀκαθάρτων λογισμῶν μου τὰ πλήθη, καὶ τῶν ἀτόπων ἐννοιῶν τὰς νιφάδας, τίς ἐξειπεῖν δυνήσεται Πανάμωμε ; τὰς ἐπαναστάσεις δέ, τῶν ἀσάρκων ἐχθρῶν μου, τὶς ἐκδιηγήσεται καὶ τὴν τούτων κακίαν ; Ἀλλὰ τῇ σῇ πρεσβείᾳ ἀγαθῇ, τούτων μοι πάντων τὴν λύτρωσιν δώρησαι. Μετὰ τὸν Πολυέλαιον. Κάθισμα. Ἦχ. δ'. Ταχὺ προκατ.

Μαρτύρων ἐν αἵματι καλλωπιζόμενοι, Κυρίῳ παρίστασθε, τῷ τοῦ παντὸς Βασιλεῖ, ὑπέρθεοι Μάρτυρες· ὅθεν ἐν εὐφροσύνῃ, τὴν σεπτὴν ὑμῶν μνήμην, σήμερον ἐκτελοῦμεν ὀφλημάτων τὴν λύσιν, αἰτούμενοι εὑρεῖν δι' ὑμῶν καὶ μέγα ἔλεος.

Δόξα τὸ αὐτό. Καὶ νῦν θεοτοκίον. Ἦχος α'. Τὸν τάφον σου σωτήρ.

Ἐλπὶς χριστιανῶν Παναγία Παρθένε, ὃν ἔτεκες Θεόν, ὑπὲρ νοῦν τε καὶ λόγον, ἀπαύστως ἱκέτευε σὺν ταῖς ἄνω δυνάμεσι, καὶ διόρθωσιν βίου τοῖς πίστει καὶ πόθῳ, ἀεὶ σὲ δοξάζουσι.

Οἱ ἀναβαθμοὶ τὸ α' ἀντίφωνον τοῦ δ'. ἤχου. Προκείμενον.

Διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν.

Στίχ. Ἐπύρωσας ἡμᾶς ὡς πυροῦται τὸ ἀργύριον.

Εὐαγγέλιον κατὰ Λουκᾶν

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· Προσέχετε ἀπὸ τῶν ἀνθρώπων· ἐπιβαλοῦσι γὰρ ἐφ' ὑμᾶς τὰς χεῖρας αὐτῶν, καὶ διώξουσι, παραδιδόντες εἰς συναγωγὰς καὶ φυλακάς, ἀγομένους ἐπὶ βασιλεῖς καὶ ἡγεμόνας ἕνεκεν τοῦ ὀνόματός μου· Ἀποβήσεται δὲ ὑμῖν εἰς μαρτύριον. Θέσθε οὖν εἰς τὰς καρδίας ὑμῶν μὴ προμελετᾶν ἀπολογηθῆναι· ἐγὼ γὰρ δώσω ὑμῖν στόμα καὶ σοφίαν, ᾗ οὐ δυνήσονται ἀντειπεῖν, οὐδὲ ἀντιστῆναι πάντες οἱ ἀντικείμενοι ὑμῖν. Παραδοθήσεσθε δὲ καὶ ὑπὸ γονέων καὶ συγγενῶν καὶ ἀδελφῶν καὶ φίλων· καὶ θανατώσουσιν ἐξ ὑμῶν· καὶ ἔσεσθε μισούμενοι ὑπὸ πάντων διὰ τὸ ὄνομά μου· καὶ θρὶξ ἐκ τῆς κεφαλῆς ὑμῶν οὐ μὴ ἀπόλλυται. Ἐν τῇ ὑπομονῇ ὑμῶν κτήσασθε τὰς ψυχὰς ὑμῶν. Ὁ Ν'. Δόξα ταῖς τῶν ἀθλοφόρων

Καὶ νῦν ταῖς τῆς Θεοτόκου. Εἶτα τὸ ἰδιόμελονν. Ἦχ. πλ. β'.

Σήμερον ἡ διπλῆ τριὰς τῶν Μαρτύρων, Σεραφείμ, Δωροθέου καὶ Ἰακώβου, Δημητρίου, Βασιλείου καὶ Σαράντη, θυμηδίας ἐνέπλησε τὴν Ἐκκλησίαν ἡμῶν, καὶ ἑορτὴν ἐτήσιον ἐπιτελοῦσα κράζει πρὸς αὐτούς. Χαίρετε ἀθλοφόροι Κυρίου, οἱ ἐν σταδίῳ ἀδρείως τὸν ἐχθρὸν νικήσαντες, καὶ Χριστῷ μετὰ παρρησίας ἱστάμενοι, πρεσβεύσαντες, ὑπὲρ τῶν ψυχῶν ἡμῶν. Εἶτα οἱ Κανόνες τῆς Θεοτόκου καὶ τῶν Μαρτύρων.

Ὁ Κανὼν τῆς Κοιμήσεως. Ποίημα τοῦ Κυρίου Κοσμᾶ.

Ὠδὴ α'. ἦχος α'. Καταβασία.

www.tezaurliturgic.ro



»Πεποικιλμένη τῇ θείᾳ δόξῃ, ἡ ἱερὰ καὶ εὐκλεὴς Παρθένε μνήμη »σου, πάντας συνηγάγετο, πρὸς εὐφροσύνην τοὺς πιστοὺς » ἐξαρχούσης Μαριάμ, μετὰ χορῶν καὶ τυμπάνων, τῷ σῷ »ᾄδοντας Μονογενεῖ, ἐνδόξως ὅτι δεδόξασται.

Ἀμφεπονεῖτο ἀΰλων τάξις, οὐρανοβάμων ἐν Σιὼν τὸ θεῖον σῶμα σου· ἄφνω δὲ συρρεύσασα, τῶν ἀποστόλων ἡ πληθύς, ἐκ περάτων Θεοτόκε, σοὶ παρέστησαν ἄρδην· μεθ' ὧν ἄχραντε, σοῦ τὴν σεπτήν, Παρθένε, μνήμην δοξάζομεν.

Νικητικὰ μὲν βραβεῖα ἦρω, κατὰ τῆς φύσεως Ἁγνή, Θεὸν κυήσασα· ὅμως μιμουμένη δέ, τὸν ποιητήν σου καὶ Υἱόν, ὑπὲρ φύσιν ὑποκύπτεις τοῖς τῆς φύσεως νόμοις· διὸ θνήσκουσα, σὺν τῷ Υἱῷ ἐγείρῃ διαιωνίζουσα. Ὁ Κανὼν τῶν Μαρτύρων ᾠδὴ α'. ἦχος πλ. δ'. Ἁρματηλάτην.

Μαρτυρικαῖς ἠγλαϊσμένοι χάρισι, καὶ τῷ μεγάλῳ φωτί, ὁλολαμπεῖς πόθῳ, παρεστῶτες οἱ Μάρτυρες, τὰ νέφη τῶν ψυχῶν ἡμῶν καὶ παθῶν τὰ πλήθη διασκεδάσατε χάριτι, τοῦ παντοδυνάμου Θεοῦ ἡμῶν.

Ἀνατεθεὶς ὁ τῶν Μαρτύρων ὅμιλος, τῷ παντεπόπτῃ Θεῷ, καὶ τῷ αὐτοῦ πόθῳ, τὰς ψυχὰς προσδύσαντες, διέλυσαν τὸν σύνδεσμον τῆς κακίας, καὶ λύσιν ἁμαρτημάτων πρεσβεύουσι, τοῖς πίστει αὐτοὺς μακαρίζουσιν.

Οἱ φανερῶς τὸν πονηρὸν συντρίψαντες, πόνοις ἀθλήσεως, καὶ φθονερῶς χρόνοις, πλείοσι κρυπτόμενοι, σήμερον πεφανέρωνται, τῇ κώμῃ τῶν Μεγάρων, σωτηρίαν βραβεύοντες. Θεοτοκίον.

Ἐξ ὁρατῶν καὶ ἀοράτων ῥῦσαί με, παρθενομῆτορ ἐχθρῶν, ἡ τὸν Θεὸν Λόγον, ὁρατὸν γεννήσασα, ἀόρατον ὑπάρχοντα, καὶ παθῶν μου τὸν σάλον, τῇ σῇ γαλήνῃ κατεύνασον, μόνη τῶν βροτῶν ἐπανόρθωσις.

Τῆς Κοιμήσεως ᾠδὴ γ'. Καταβασία.

»Ἡ δημιουργική, καὶ συνεκτικὴ τῶν ἁπάντων, Θεοῦ Σοφία καὶ »Δύναμις, ἀκλινῆ ἀκράδαντον, τὴν Ἐκκλησίαν στήριξον » Χριστέ· μόνος γὰρ εἶ Ἅγιος, ὁ ἐν ἁγίοις ἀναπαυόμενος.

Γυναῖκά σε θνητήν, ἀλλ' ὑπερφυῶς καὶ Μητέρα, Θεοῦ εἰδότες Πανάμωμε, οἱ κλεινοὶ ἀπόστολοι, πεφρικυίαις ἥπτοντο χερσί, δόξῃ ἀπαστράπτουσαν, ὡς Θεοδόχον σκῆνος θεώμενοι.

Ὑπέφθασε χερσί, ταῖς ὑβριστικαῖς τοῦ αὐθάδους, τομὴν ἡ δίκη ἐπάξασα, τοῦ Θεοῦ φυλάξαντος, τὸ σέβας τῇ ἐμψύχῳ κιβωτῷ, δόξῃ τῆς θεότητος, ἐν ᾗ ὁ Λόγος σὰρξ ἐχρημάτισεν.

Τῶν Μαρτύρων. Ὠδὴ γ'. οὐρανίας ἁψῖδας.

Πυρωθέντες τῷ πόθῳ, τῷ θεϊκῷ Μάρτυρες, πῦρ τῆς ἀθεΐας, αἱμάτων ῥείθροις ἐσβέσατε, καὶ ἀναλάμψαντες, φωτοειδεῖς ὡς ἀστέρες, πᾶσαν τὴν ὑφήλιον καταφαιδρύνατε.



Ἀπαστράπτει Μαρτύρων, τὰ φωταυγῆ λείψανα, φέγγος ἰαμάτων, τοῖς πίστει τούτοις προστρέχουσι· χάριν γὰρ ἤντλησαν, ἐκ τῶν πηγῶν τοῦ Σωτῆρος, τούτου τὸ ἑκούσιον πάθος ζηλώσαντες.

Οἱ τῆς πίστεως πύργοι, τὰ τοῦ Χριστοῦ θύματα χρόνον ἐπιμήκιστον, τῇ γῇ κρυπτόμενοι νῦν πεφανέρωνται τῇ κώμῃ τῶν Μεγάρων, εὐσεβῶς ὁσίως τε συγκομιζόμενοι. Θεοτοκίον.

Χαῖρε μόνη τεκοῦσα, τὸν τοῦ παντὸς Κύριον, χαῖρε τὴν χαράν, τοῖς ἀνθρώποις ἡ προξενήσασα· χαῖρε κατάσκιον καὶ ἀλατόμητον ὄρος, τῶν πιστῶν τὸ στήριγμα, χαῖρε πανάμωμε.

Κάθισμα ἦχος α'. Τὸν τάφον σου Σωτήρ.

Τὴν πλάνην τοῦ ἐχθροῦ, φανερῶς καθελόντες, ἐν ἔτεσι πολλοῖς, ὑπὸ γῆν κεκρυμμένοι, ἡμῖν πεφανέρωσθε παναοίδιμοι Μάρτυρες, θεραπεύοντες, τὰ τῶν ψυχῶν ἡμῶν πάθη, καὶ ἰώμενοι τὰς τῶν σωμάτων ὀδύνας, εἰς δόξαν Θεοῦ ἡμῶν. Δόξα. Ἦχ. πλ. δ'. Τὴν Σοφίαν καὶ Λόγ.

Τῷ Χριστῷ στρατευθέντες μαρτυρικῶς, τὸν ἐχθρὸν καθελόντες ἀθλητικῶς, ἔργοις ἐπληρώσατε, τοῦ Προφήτου τὰ ῥήματα· διὰ πυρὸς γὰρ καὶ ὕδατος, γενναίως διήλθετε, ἀναψυχὴν εὑράμενοι, ζωὴν τὴν αἰώνιον· ὅθεν καὶ τὴν χάριν, οὐρανόθεν λαβόντες, χοροῖς συνευφραίνεσθε, Ἀσωμάτων μακάριοι. Ἀθλοφόροι πανεύφημοι, πρεσβεύσατε Χριστῷ τῷ Θεῷ τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ τὴν ἁγίαν μνήμην ὑμῶν. Καὶ νῦν. Θεοτοκίον.

Ἐνθυμοῦμαι τὴν κρίσιν καὶ δειλιῶ, τὴν ἐξέτασιν τρέμω τὴν φοβεράν, φρίττω τὴν ἀπόφασιν, καὶ πτοοῦμαι τὴν κόλασιν τὴν τοῦ πυρὸς ὀδύνην, τὸ σκότος τὸν τάρταρον, τὸν βρυγμὸν τῶν ὀδόντων, τὸν ἄϋπνον σκώληκα. Οἴμοι ! τί ποιήσω, ὅταν τίθωνται θρόνοι, καὶ βίβλοι ἀνοίγωνται, καὶ αἱ πράξεις ἐλέγχονται, καὶ κρυπτὰ δημοσιεύωνται ; Τότε Δέσποινα βοήθειά μου γενοῦ, καὶ προστάτις θερμότατος· σὲ γὰρ ἔχω ἐλπίδα, ὁ ἀχρεῖος οἰκέτης σου. Τῆς Κοιμήσεως. Ὠδὴ δ'. Καταβασία.

»Ῥήσεις Προφητῶν καὶ αἰνίγματα, τὴν σάρκωσιν ὑπέφη»ναν, τὴν ἐκ Παρθένου σου Χριστέ, φέγγος ἀστραπῆς σου, » εἰς φῶς ἐθνῶν ἐξελεύσεσθαι· καὶ φωνεῖ σοι ἄβυσσος, ἐν ἀγαλ»λιάσει· τῇ δυνάμει σου δόξα, Φιλάνθρωπε.

Ἴδετε λαοὶ καὶ θαυμάσατε· τὸ ὄρος γὰρ τὸ ἅγιον καὶ ἐμφανέστατον Θεοῦ, τῶν ἐπουρανίων βουνῶν, ἐφ' ὕπερθεν αἴρεται, οὐρανὸς ἐπίγειος, ἐν ἐπουρανίῳ, καὶ ἀφθάρτῳ χθονὶ οἰκιζόμενος.

Ζωῆς ἀϊδίου καὶ κρείττονος, ὁ θάνατός σου γέγονε, διαβατήριον Ἁγνή, ἐκ τῆς ἐπικήρου, πρὸς θείαν ὄντως καὶ ἄρρεστον, μεθιστῶν σε ἄχραντε, ἐν ἀγαλλιάσει τὸν Υἱὸν καθορᾷν σου καὶ Κύριον.

www.tezaurliturgic.ro



Ἐπήρθησαν πύλαι οὐράνιαι, καὶ Ἄγγελοι ἀνύμνησαν, καὶ ὑπεδέξατο Χριστός, τὸ τῆς παρθενίας αὐτοῦ, μητρῷον κειμήλιον. Χερουβὶμ ἐπεῖξε σοι, ἐν ἀγαλλιάσει· Σεραφεὶμ δὲ δοξάζει σε χαίροντα.

Τῶν Μαρτύρων ᾠδὴ δ'. Σύ μου Χριστὲ Κύριος.

Σοῦ τὴν σφαγὴν καὶ τὸν ἑκούσιον θάνατον Ζωοδότα, δῆμος ἐπεπόθησε τῶν ἀθλητῶν, καὶ πολυειδεῖς πόνους ὑπομείνας, εἰς ἄπονον μεταβέβηκε, καὶ θείαν εὐφροσύνην μελῳδῶν εὐχαρίστως, τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Τῷ τοῦ Σταυροῦ περιφραξάμενοι θώρακι, καὶ ἀγάπῃ θείᾳ κρατυνόμενοι συνασπισμόν, ἔλυσαν ἐχθροῦ, καὶ τὰς παρατάξεις, τὰς τούτου πίστει ἠφάνησαν, οἱ Μάρτυρες οἱ θεῖοι μελῳδοῦντες προθύμως. Τῇ δυνάμει δόξα φιλάνθρωπε.

Ταῖς καλλοναῖς τῶν ἀρετῶν φαιδρυνόμενοι ἐξ αἱμάτων, χλαίνῃ κεκόσμησθε, ἠρυθριωμένην μαρτυρικῶν σκήπτρων, δὲ καθάπερ, Σταυροῦ τὸ τρόπαιον φέροντες, Χριστῷ συμβασιλεύειν, ἠξιώθητε ὄντως μακαρίων ἐλπίδων λαβόμενοι. Θεοτοκίον.

Μῆτερ Θεοῦ εὐλογημένη, πανάμωμε ἀθλοφόρε, θεῖον ἐγκαλλώπισμα, ἡ οὐρανώσασα τὴν ἡμῶν φύσιν ἀποσθεῖσαν, τῇ συμβουλίᾳ, τοῦ ὄφεως, διάσωσόν με πάντων, τῶν τοῦ βίου σκανδάλων, καὶ τυχεῖν σωτηρίας ἀξίωσον. Τῆς Κοιμήσεως ᾠδὴ ε'. Καταβασία.

»Τὸ θεῖον καὶ ἄρρητον κάλλος, τῶν ἀρετῶν σου Χριστὲ διηγή-
» σομαι· ἐξ ἀϊδίου γὰρ δόξης συναΐδιον, καὶ ἐνυπόστατον λάμ-
» ψας ἀπάγασμα, παρθενικῆς ἀπὸ γαστρός, τοῖς ἐν σκότει
»καὶ σκιᾷ, σωματωθεὶς ἀνέτειλας Ἥλιος.

Ὡς ἐπὶ νεφέλῃ Παρθένε, τῶν Ἀποστόλων ὁ δῆμος ὀχούμενος, πρὸς τὴν Σιὼν ἐκ περάτων λειτουργῆσαί σοι, τῇ νεφέλῃ τῇ κούφῃ ἠθροίζετο, ἀφ' ἧς ὁ Ὕψιστος Θεός, τῆς ἐν σκότει καὶ σκιᾷ δικαιοσύνης ἔλαμψεν Ἥλιος.

Σαλπίγγων θεόληπτοι γλῶσσαι, τῶν θεολόγων ἀνδρῶν εὐηχέστεροι, τῇ Θεοτόκῳ ἐβόων τὸν ἐξόδιον, ἐνηχούμεναι ὕμνον τὸ Πνεύματι· χαίροις ἀκήρατε πηγή, τῆς τοῦ Θεοῦ ζωαρχικῆς, καὶ σωτηρίου πάντων σαρκώσεως. Τῶν Μαρτύρων ᾠδὴ ε'. Ἵνα τί μὴ ἀπώσω.

Τῶν ἁγίων σου Σῶτερ, χρόνον ἐπιμήκιστον κατακρυπτόμενα τὰ ὀστᾶ φυλάξας, ἐφανέρωσας νῦν ὡς ηὐδόκησας, ὡς λαοῦ σου Λόγε, ἁγιασμὸν καὶ σωτηρίαν, καὶ αἰσχύνην ἐχθρῶν, βλασφημούντων σε.

Τὸν ὄλισθον τῆς ἀπάτης, θέρμην διελύσατε πίστεως ἔνδοξοι, καὶ πολλῶν βασάνων, ὑπερβάντες πολύπλοκα βάσανα, πρὸς τὴν ἄνω πόλιν, ἐπτερωμένοι τῇ ἀγάπῃ, κατεπαύσατε, δόξης πληρούμενοι.



Καρτερίᾳ μαστίγων, πᾶσαν ἀπερράπισαν ἐχθροῦ ἀπόνειαν, στερροὶ ὁπλῖται, καὶ στρεβλούμενοι καὶ ἀναρτόμενοι, καὶ πυρὶ ἐν ὅλῳ προσομιλοῦντες, πᾶσαν ὕλην, ἀθεΐας ἐνέπρυσαν χάριτι. Θεοτοκίον.

Ὑπερτέρα τῶν ἄνω, πέφυκας δυνάμεων Θεοχαρίτω τε, συλλαβοῦσα Λόγον, τὸν τὰ σύμπαντα λόγῳ ποιήσαντα, καὶ τεκοῦσα τοῦτον, τὸν ἐκ Πατρὸς πρὸ τῶν αἰώνων γεννηθέντα ἀρρεύστως ἀμόλυντε.

Τῆς Κοιμήσεως ᾠδὴ ϛ'. Καταβασία.

» Ἅγιον ποντογενές, κιτῷον ἐντόσθιον πῦρ, τῆς τριημέρου τα-
» φῆς σου, τί προεικόνισμα, οὗ Ἰωνᾶς ὑποφήτης ἀναδέδει-
» κται· σεσωσμένος γὰρ ὡς καὶ προὐπέπωτο, ἀσινὴς ἐβόα·
»Θύσω σοι μετὰ φωνῆς αἰνέσεως Κύριε.

Νέμει σοι τὰ ὑπὲρ φύσιν, Ἄναξ ὁ πάντων Θεός· ἐν γὰρ τῷ τίκτειν Παρθένον ὥσπερ ἐφύλαξεν, οὕτως ἐν τάφῳ τὸ σῶμα διετήρησεν, ἀδιάφθορον, καὶ συνεδόξασε, θείᾳ μεταστάσει, γέρα σοι ὥσπερ Υἱὸς Μητρὶ χαριζόμενος.

Ὄντως σε ὡς φαεινὴν λυχνίαν, ἀΰλου πυρός, θυμιατήριον θείου χρύσεον ἄνθρακος, ἐν τοῖς ἁγίων ἁγίοις κατεσκήνωσε, στάμνον ῥάβδον τε πλάκα θεόγραφον, κιβωτὸν ἁγίαν, τράπεζαν ἄρτου ζωῆς, Παρθένε ὁ τόκος σου. Τῶν Μαρτύρων ᾠδὴ ϛ'. Ἱλάσθητί μοι Σωτήρ.

Ὡς κρίνα, ταῖς νοηταῖς κοιλάσιν ἀναβλαστήσαντες, ἐκ Θεοῦ πάντας ὀσμῆς πληροῦται πανεύφημοι, καὶ ψυχῶν ἐλαύνεται δυσωδίαν πᾶσαι ἀθλοφόροι ἀξιάγαστοι.

Ἰχῶρες μαρτυρικοί, ψυχῶν ἰῶνται τὰ τραύματα, ἐντούτοις γάρ, τὸν ἐχθρόν, στερρῶς τραυματίσαντες, ἰατρεῖον ἄμισθον, τοῖς θερμῶς αἰτοῦσι θείῳ πνεύματι γεγόνασι.

Τῷ Βασιλεῖ κατ' ἐχθρῶν, αἰτεῖσθε τὰ νικητήρια, τῇ κώμῃ δὲ τῶν Μεγάρων θερμῶς, ὑμᾶς συγκομίσαντι τὴν ἄνωθεν Μάρτυρες, παρὰ τοῦ Σωτῆρος ἐξαιτήσασθε εὐμένειαν.

Ἐκ σοῦ Θεὸς τοῖς θνητοῖς, σαρκὸς ἐφάνη προσλήματι, ὁ πλούσιος τὴν ἐμὴν πτωχείαν πανάμωμε, ἐξ οὗ ἀνελάβετο, τῆς ἀθανασίας τὰς εἰσόδους μοι δωρούμενος. Κοντάκιον. Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Στρατολογία ἀληθὴ τῶν Μαρτύρων, τοῦ οὐρανίου στρατιαὶ Βασιλέως, ἀποτελοῦντες φάλαγγα κατὰ τῶν δυσσεβῶν. Σεραφεὶμ Δωρόθεος, σὺν αὐτοῖς, Ἰακώβῳ, ὧν πηγὰς ἰάσεων ἀναβρύει ἡ λάρναξ, σώζοντες ἐκ θλίψεων πάντας τοὺς πιστούς, κατεξωλοθρεύοντες τῶν δαιμόνων τὰ στίφη, καὶ πρεσβεύουσιν ὑπὲρ τῶν πίστει καὶ πόθῳ τελούντων τὴν μνήμην αὐτῶν. Ὁ οἶκος.

www.tezaurliturgic.ro

Ως ρόδα μέσῳ ἀκανθῶν τὰ λείψανα ἀνθοῦντα, ὀσμὴν ὀρθοδοξίας, πηγάζετε ἐν κόσμῳ, Μάρτυρες ἔνδοξοι σεπτοί, κόσμου τὰ ὡραῖα ἀρνησάμενοι καλῶς, ἀνθρώπους ὑπομείνατε, βασιλεῖς ἀνομοῦντας ἠλέγξατε, καὶ τὸν Βασιλέα καὶ Δεσπότην τῶν ἁπάντων, κηρύξαντες μετὰ παρρησίας, διὰ τοῦτο οὐρανοῦ τὰ κάλλη ὁρῶντες, ἐκτενῶς ὑπὲρ ἡμῶν τὴν ἱκεσίαν τῷ Βασιλεῖ τῶν αἰώνων προσάγετε, τῶν τελούντων ὑμῶν τὰ μνημόσυνα, Μάρτυρες θεῖοι Τριάδος ὑπέρμαχοι.

Τῇ δεκάτῃ ἕκτῃ τοῦ αὐτοῦ μηνὸς μνήμη τῶν ἐν Μεγάροις ἀνευρεθέντων θείων καὶ ἱερῶν λειψάνων τῶν ἁγίων καὶ θαυματουργῶν Μαρτύρων, Σεραφείμ, Δωροθέου, Ἰακώβου, Δημητρίου, Βασιλείου καὶ Σαράντη.

Στίχοι

Θησαυροὶ ὑπὸ γῆς κεκρυμμένοι τῆς Χριστοῦ πίστεως δρῶντες
Ραγεισάσης τῆς γῆς Μεγαρέων λάρνακι ἰαμάτων πληρῶσαι.
Ἕκτη καὶ δεκάτη ὤφασθε Παϊσίῳ.*

Τῇ αὐτῇ ἡμέρᾳ μνήμη τοῦ Ἁγίου Μάρτυρος Διομήδους.

Στίχ. Ἤθλησε καὶ ζῶν καὶ θανὼν Διομήδης,
Προαιρέσει ζῶν, καὶ νεκρὸς τομῇ κάρας.

Τῇ αὐτῇ ἡμέρᾳ ὁ Ὅσιος Χαιρήμων ἐν εἰρήνῃ τελειοῦται.

Στιχ· Λήξει βίου χαῖρε, Χαιρήμων μάκαρ,
Ἀρχὴν γὰρ εἶδες τῆς ἀμοιβῆς τῶν πόνων.

Ὁ ἅγιος μάρτυς Ἀλκιβιάδη πυρὶ τελειοῦται,

»Ἀλκιβιάδου σάρκα πῦρ κατεσθίει,
»Μωσῆς ἂν εἶπε θεῖος, ὡσεὶ καλάμην.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῶν Ἁγίων Τριάκοντα τριῶν Μαρτύρων τῶν ἐκ Παλαιστίνης ξίφει τελειωθέντων.

Στιχ. Στεῤῥῶς στρατός τε καὶ συναπισμὸς μέγας,
» Ξίφει πεσών, στράτευμα δαιμόνων τρέπει.

Τῇ αὐτῇ ἡμέρᾳ ἡ Ἀνάμνησις τῆς εἰσόδου τῆς ἀχειροτεύκτου Μορφῆς τοῦ Κυρίου καὶ Θεοῦ καὶ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, ἐκ τῆς Ἐδεσσηνῶν πόλεως εἰς ταύτην τὴν θεοφύλακτον καὶ Βασιλίδα τῶν πόλεων ἀνακομισθείσης.

Στίχ. Ἐν σινδόνι ζῶν ἐξεμάξω σὴν θέαν,
» Ὁ νεκρὸς εἰσδὺς ἔσχατον τὴν σινδόνα.

Εἰς τὸ Κεράμιον

»Ἀχειρότευκτον χειρότευκτος σὸν τύπον,
»Φέρει κέραμος παντοτεύκτα Χριστέ μου.

* Τὰ τῆς βιογραφίας καὶ τῶν θαυμάτων τῶν Ἁγίων Μαρτύρων. παραθέτω κατὰ πλάτος ἐν τῷ τέλει τῆς παρούσης ἀκολουθίας.



Τῇ αὐτῇ ἡμέρᾳ, Ἀνάμνησιν ποιοῦμεν τῆς περὶ ἡμᾶς τοῦ Θεοῦ μεγίστης καὶ ἀνυπερβλήτου φιλανθρωπίας, ἣν ἐδείξατο τότε ἀποστρέψας μετ' αἰσχύνης τοὺς ἀθέους Ἀγαρηνοὺς μεσιτείᾳ τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας.

Τῇ αὐτῇ ἡμέρᾳ ἡ ἐν τῷ ναῷ τῆς Ζωοδόχου Πηγῆς ἐξάντλησις τοῦ ἁγιάσματος καὶ αὖθις ἀνάδοσις.

Στίχ. Πηγὴ κενοῦται θαυματουργῶν ὑδάτων,
» Πληρουμένη δέ, θαυματουργεῖ καὶ πλέον.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη γίνεται τῆς καὶ μετὰ οἰκτιρμῶν ἐπενεχθείσης ἡμῖν ἐν τοῖς καιροῖς ἐκείνοις φοβερᾶς ἀπειλῆς τοῦ σεισμοῦ, οὗ παρ' ἐλπίδα ἐλυτρώσατο ἡμᾶς ὁ φιλάνθρωπος Θεός.

Ὁ ἅγιος νέος ὁσιομάρτης Νικόδημος, ὁ ἐκ Μετεώρων ἐμαρτύρησε διὰ τὴν εὐσέβειαν ἐν ἔτει αφνα', (1551).

«Τί δαὶ σὺ Νικόδημε ; εἰπὲ σὸν πάθος·
Τεθανάτωμαι δι' ἀγάπην Κυρίου.»

Ὁ ἅγιος νεομάρτυς Σταμάτιος ὁ ἐκ Βόλου, ὁ ἐν Κωνσταντινουπόλει μαρτυρήσας κατὰ τὸ ἔτος αχπ', (1680) ξίφει τελειοῦται.

«Ὁ Σταμάτιος εὗρε τῶν κάτω στάσιν,
Ἀεικίνητον δ' εὗρε τῶν ἄνω δρόμον.»

Ταῖς τῶν σῶν Ἁγίων Μαρτύρων, καὶ πάντων σου τῶν Ἁγίων, πρεσβείαις Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

Τῆς Κοιμήσεως ᾠδὴ ζ'. Καταβασία.

»Ισταμῷ θυμῷ τε καὶ πυρί, θεῖος ἔρως ἀντιταττόμενος, τὸ μὲν »πῦρ ἐδρόσιζε· τῷ θυμῷ δὲ ἐγέλα θεοπνεύστῳ λογικῇ, τῇ » τῶν Ὁσίων τριφθόγγῳ λύρᾳ ἀντιφθεγγόμενος, μουσικοῖς ὀρ-»γάνοις ἐν μέσῳ φλογός. Ὁ δεδοξασμένος τῶν Πατέρων καὶ »ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Θεοτεύκτους πλάκας Μωϋσῆς, γεγραμμένας τῷ θείῳ Πνεύματι, ἐν θυμῷ συνέτριψεν· ἀλλ' ὁ τούτου Δεσπότης, τὴν Τεκοῦσαν ἀσινῆ, τοῖς οὐρανίοις φυλάξας δόμοις, νῦν εἰσῳκίσατο. Σὺν αὐτῇ σκιρτῶντες βοῶμεν Χριστῷ. Ὁ δεδοξασμένος, τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

Εν κοιβάλοις χείλεσιν ἁγνῆς, μουσικῆς τε καρδίας φόρμιγγι, ἐν εὐήχῳ σάλπιγγι, ὑψηλῆς διανοίας τῆς Παρθένου καὶ ἁγνῆς, ἐν τῇ εὐσήμῳ κλητῇ ἡμέρᾳ τῆς Μεταστάσεως πρακτικαῖς κροτοῦντες βοῶμεν χερσίν. Ὁ δεδοξασμένος τῶν Πατέρων καὶ ἡμῶν Θεὸς εὐλογητὸς εἶ.

Ο θεόφρων ἤθροισται λαός· τῆς γὰρ δόξης Θεοῦ τὸ σκήνωμα, ἐκ Σιὼν μεθίσταται πρὸς οὐράνιον δόμον, ἔνθα ἦχος καθαρὸς ἑορταζόντων, φωνὴ ἀφράστου ἀγαλλιάσεως, καὶ ἐν εὐφροσύνῃ βοώντων Χριστῷ. Ὁ δεδοξασμένος τῶν Πατέρων καὶ ἡμῶν, Θεὸς εὐλογητὸς εἶ.

ΓΕΝΝΑΔΕΙΟΣ ΒΙΒΛΙΟΘΗΚΗ ΣΥΛΛΟΓΗ ΝΤΟΡΗΣ ΠΑΠΑ...

www.tezaurliturgic.ro



Τῶν Μαρτύρων. Ὠδ. ζ'. Θεοῦ συγκα. *

Γνωστοὶ τῷ ποιήσαντι, τῷ μαρτυρίῳ πάλλαι γενόμενοι, ἀφανῶς κεκρυμμένοι, ἡμῖν ἀρτίως νῦν ἐπιγνώσθητε, τοῖς μελῳδοῦσι πανεύφημοι Μάρτυρες, εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Ἀντλήσατε ἄνθρωποι πηγῆς, βριούσης νάμα σωτήριον ὀχετῶν ἐξ ἀΰλων, διὰ λειψάνων Μαρτύρων σήμερον καὶ μελωδεῖτε τῷ τούτοις δοξάσαντι, εὐλογητὸς ὁ Θεὸς ὁ τῶν Πατέρων ἡμῶν.

Φωτὸς οἰκητήρια ἀναδειχθέντες, διὰ βασάνων πολλῶν, κατακρύψει ζοφῶδες ἐτῶν, δι' ἄλλοις κατακρυπτόμενοι, ὡς ἐξ ἀδύτων φωστῆρες ἐξέλαμψαν οἱ ἀθλιταί σου Χριστέ, φωταγωγοῦντες ἡμᾶς. Θεοτοκίον.

Προφῆται προήγγειλαν, τὸ βάθος κόρη τοῦ μυστηρίου σου, ἐξ ἁγνῶν σου αἱμάτων, Θεὸν Παρθένε ἐκυοφόρησας καὶ ἐν οὐσίαις δυσὶν ἀπεκύησας εἰς σωτηρίαν ἡμῶν καὶ ἀπολύτρωσιν.

Τῆς Κοιμήσεως. Ὠδ. η'. Καταβασία.

» Φλόγα δροσίζουσαν Ὁσίους, δυσεβεῖς δὲ καταφλέγουσαν,
» Ἄγγελος Θεοῦ ὁ πανσθενής, ἔδειξε Παισί· ζωαρχικὴν δὲ
» πηγὴν εἰργάσατο τὴν Θεοτόκον, φθορὰν θανάτου, καὶ ζωὴν
» βλυστάνουσαν, τοῖς μέλπουσι· Τὸν Δημιουργὸν μόνον ὑμνοῦ-
» μεν, οἱ λελυτρωμένοι, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς
» αἰῶνας.

Ῥήμασι εἴχοντο τῆς θείας, Κιβωτοῦ τοῦ ἁγιάσματος, πᾶσα ἡ πληθὺς τῶν Θεολόγων ἐν τῇ Σιών. Ποῦ νῦν ἀπαίρεις σκηνὴ κραυγάζοντες, Θεοῦ τοῦ ζῶντος; Μὴ διαλίπης ἐποπτεύουσα, τοὺς πίστει μέλποντας· Τὸν Δημιουργὸν μόνον ὑμνοῦμεν, οἱ λελυτρωμένοι, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὅπως ὑψώσασα τὰς χεῖρας, ἐκδημοῦσα ἡ πανάμωμος, χεῖρας τὰ Θεὸν ἠγκαλισμένας, σωματικῶς ἐν παῤῥησίᾳ, ὡς Μήτηρ ἔφησε πρὸς τὸν τεχθέντα. Οὓς μὴ ἐκτήσω, εἰς αἰῶνας φύλαττε βοῶντας σοι. Τὸν Δημιουργὸν μόνον ὑμνοῦμεν, οἱ λελυτρωμένοι, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας. Τῶν Μαρτύρων ᾠδὴ η'. Ἑπταπλασίως κάμινον.

Ὡς τῆς ἀμπέλου κλήματα, τῆς ἀΰλου ὑπάρχοντες, βότρυας ἡμῖν θεογνωσίας ἤνθησαν, καὶ οἶνον ἐκέρασαν ἀθανασίαν πᾶσι σαφῶς, μέθην ψυχικῆς ἀποκρουόμενον βλάβης, οἱ Μάρτυρες βοῶντες, ἱερεῖς εὐλογεῖτε λαὸς ὑπερυψοῦτε.

Τοῖς ὀχετοῖς τοῦ αἵματος, ποταμοὺς ἀπεξήραναν, εἰδολομανίας καὶ πυρᾶν ἐτέφρωσαν, ἐνθέου προστάγματος, οἱ ἀθληταὶ τῆς δόξης Χριστοῦ,

* Οἱ βίοι καὶ τὰ Συναξάρια ὅρα εἰς τὸ βιβλίον τοῦ Αὐγούστου τοῦ Μεγ. Συναξαριστοῦ Κ Χ. Δουκάκη σελ. 238.



πᾶσαν δὲ πίστεως ἀναβοῶσαν καρδίαν, κατήρδευσαν πλουσίως, ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Κώμη ἡ τῶν Μεγάρων ἱερῶς συγκινουμένη, τὴν συγκομιδὴν τὴν ἱερὰν πεποίηται, ὑμῶν παμμακάριστοι καὶ ἐτησίως τούτων τιμᾷ μέλπουσα σὺν παντί, τῷ ἱερῷ καταλόγῳ, οἱ παῖδες εὐλογεῖτε ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας. Θεοτοκίον

Ἁγιασθεῖσα πνεύματι, Θεοτόκε πανάμωμε, τὸν ἐν τοῖς ἁγίοις ἐπαναπαυόμενον, ἐκύησας ἅγιον καὶ εὐεργέτην μόνον Θεόν, πάντας τοὺς βοῶντας ἁγιάζοντα πίστει, οἱ παῖδες εὐλογεῖτε ἱερεῖς ἀνυμνεῖτε, λαὸς ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Τῆς Κοιμήσεως ᾠδὴ Θ'. Καταβασία.

» Νενίκηνται τῆς φύσεως οἱ ὅροι, ἐν σοὶ Παρθένε ἄχραντε· παρ-
» θενεύει γὰρ τόκος, καὶ ζωὴν προμνηστεύεται θάνατος. Ἡ
» μετὰ τόκον Παρθένος καὶ μετὰ θάνατον ζῶσα, σῴζεις ἀεί,
» Θεοτόκε τὴν κληρονομίαν σου.

Ἐξίσταντο ἀγγέλων αἱ Δυνάμεις, ἐν τῇ Σιὼν σκοπούμεναι, τὸν οἰκεῖον Δεσπότην, γυναικείαν ψυχὴν χειριζόμενοι· τῇ γὰρ ἀχράντως τεκούσῃ, υἱοπρεπῶς προσεφώνει· Δεῦρο Σεμνή, τῷ Υἱῷ καὶ Θεῷ σὺν δοξάσθητι.

Συνέστειλε χορὸς τῶν Ἀποστόλων, τὸ Θεοδόχον Σῶμα σου, μετὰ δέους ὁρῶντες καὶ φωνῇ λιγυρᾷ προσφθεγγόμενοι. Εἰς οὐρανίους θαλάμους, πρὸς τὸν Υἱὸν ἐκφοιτῶσα, σῴζοις ἀεὶ Θεοτόκε τὴν κληρονομίαν σου. Τῶν Μαρτύρων ᾠδὴ Θ'. ἐξέστη ἐπὶ τοῦτο ὁ οὐρανός.

Ἀλλήλους συνωθοῦντες πρὸς τὴν ζωήν, καὶ θαρρεῖν ἑαυτοῖς ἐγκελεύοντες, τοὺς οἰκισμοὺς ἤνεγκον βοῶντ ς οἱ ἀθλιταί, ἴδε καιρὸς εὐπρόσδεκτος, ἱστῶμεν καὶ νικήσωμεν τὸν ἐχθρόν, Χριστὸς γὰρ ἀθλοθέτης προτείνει τοὺς στεφάνους, ὁ δι' ἡμᾶς παθεῖν ἑλόμενος.

Ὑψώθης ἐπὶ ξύλου Λόγε Θεοῦ, καὶ Μαρτύρων ἀγέλας ἀνείλκυσας, πρὸς ἑαυτὸν πάθος εἰκονίσαντες καὶ σφαγὴν ἣν ἑκουσίως δέσποτα, εἴλφ εὐσπλαχνίᾳ τὰ καθ' ἡμᾶς, δι' ὃ σὲ οἱ γενναῖοι ποθήσαντες ὁπλῖται, ὡς ἱερεῖα σφαγιάζοντες.

Χριστῷ συμβασιλεύειν διὰ παντός, ἀθλοφόροι, πανεύφημοι Μάρτυρες, περιχαρῶς καταξιωθέντες ἐν οὐρανοῖς, τῷ Βατιλεῖ τὰ τρόπαια, καὶ τῷ ποιμενάρχῃ τὴν ψυχικὴν αἰτεῖσθε σωτηρίαν, καὶ πᾶσι τοῖς ἐν πίστει ἀνευφημοῦσιν ἡμᾶς σήμερον. Θεοτοκίον.

Νεφέλη τοῦ Ἡλίου τοῦ νοητοῦ, τῆς ψυχῆς μου τὰ νέφη ἀπέλαυσον, πύλη Θεοῦ ἄνοιξόν μοι, πύλας ἐκδυσωπῶ, δικαιοσύνης Δέσποινα, καὶ πρὸς τὰς εἰσόδους τὰς ἀγαθάς, εἰσάγαγε Παρθένε, σκανδάλων πολυτρόπων τοῦ πονηροῦ, ἐκλυτρουμένη με.

www.tezaurliturgic.ro



Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ρωννύμεθα προσψαύοντες τοῖς ἱεροῖς πανόλβιοι, ὑμῶν λειψάνοις ἐν πίστει τὸν Σεραφεὶμ καὶ Δωρόθεον, σὺν Ἰακώβῳ τῷ θείῳ, Δημήτριον, Βασίλειον, σὺν τῷ ἕκτῳ Σαράντῃ, ποιεῖτε ᾧ παρίστασθε τῶν τὴν Ὑμῶν ἐκτελούντων λαμπρὰν καὶ πάμφωτον μνήμην. Τῆς Κοιμήσεως. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Τῶν Ἀποστόλων ὁ δῆμος, συναθροισθεὶς ἐν νεφέλαις, ἀξιοχρέως κηδεύει, τὴν τοῦ Κυρίου Μητέρα, παρόντος καὶ τοῦ Σωτῆρος, σὺν μυριάσιν Ἀγγέλων.

Εἰς τοὺς Αἴνους. Τῆς Κοιμήσεως. Ἦχ. δ'. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Τῇ ἐνδόξῳ Κοιμήσει σου, οὐρανοὶ ἐπαγάλλονται, καὶ Ἀγγέλων γέγηθε τὰ στρατεύματα· πᾶσα ἡ γῆ δὲ εὐφραίνεται, ᾠδὴν σοι ἐξόδιον, προσφωνοῦσα τῇ Μητρὶ τοῦ τῶν ὅλων δεσπόζοντος, ἀπειρόγαμε, Παναγία Παρθένε ἡ τὸ γένος, τῶν ἀνθρώπων ῥυσαμένη, προγονικῆς ἀποφάσεως.

Ἐκ περάτων συνέδραμον, Ἀποστόλων οἱ πρόκριτοι, θεαρχίῳ νεύματι τοῦ κηδεῦσαί σε· καὶ ἀπὸ γῆς αἰρομένην σε, πρὸς ὕψος θεώμενοι, τὴν φωνὴν τοῦ Γαβριήλ, ἐν χαρᾷ ἀνεβόων σοι· Χαῖρε ὄχημα τῆς Θεότητος ὅλης· χαῖρε μόνη τὰ ἐπίγεια τοῖς ἄνω, τῷ τοκετῷ σου συνάψασα.

Τὴν ζωὴν ἡ κυήσασα, πρὸς ζωὴν μεταβέβηκας, τῇ σεπτῇ Κοιμήσει σου τὴν ἀθάνατον, δορυφορούντων Ἀγγέλων σοι, Ἀρχῶν καὶ Δυνάμεων, Ἀποστόλων Προφητῶν, καὶ ἁπάσης τῆς κτίσεως, δεχομένου τε, ἀκηράτοις παλάμαις τοῦ Υἱοῦ σου, τὴν ἀμώμητον ψυχήν σου Παρθενομῆτορ Θεόνυμφε.

Τῶν Μαρτύρων. Ἦχος ὁ αὐτός.

Ἀθληταὶ γενναιότατοι, στρατιῶται ἀήττητοι, ἐν Ἁγίῳ πνεύματι, ἀνεδείχθητε, καὶ ἐν Μεγάροις ἐφάνητε, ὑπερασπισταὶ προθυμότατοι, καταβαλόντες τὸν ἐχθρόν, καρτεραῖς ταῖς ἐνστάσεσιν, ὅθεν εἰλήφατε τοὺς στεφάνους τῆς νίκης ἀθλοφόροι, καὶ τῆς ᾧδε ὁμηγύρεως, κλέος Μαρτύρων, συνήφθητε.

Καὶ σταυρῷ ἀναρτόμενοι καὶ τὰς σάρκας τυπτόμενοι, καὶ ἐπὶ ξύλου τεινόμενοι, καὶ ὑπὸ γῆν φανερούμενοι, καὶ παντοίαις χαλεπαῖς, ἀλγηδόσι κυκλούμενοι, ἀπαράτρωτοι ὤφθητε, καὶ ἀήττητοι, τῇ δυνάμει τοῦ Σταυροῦ προσηλωθέντες, κλέος Μαρτύρων θεσπέσιοι.



Θεῖον γεγόνατε ἄγαλμα, εὐσεβείας πανόλβιοι, δυσεβῶν τε εἴδωλα βδελυξάμενοι, καὶ ἱερεῖς ἀλλόκληροι, καὶ θύματα δεκτά, τῷ τρωθέντι δι' ἡμᾶς καθαρῶς προσαγώμενοι, τῷ δοξάσαντι τὴν Ἁγίαν ὑμῶν μνήμην, καὶ θαυμάτων θησαυροὺς ἡμᾶς τοῖς πᾶσι, δωρησαμένῳ θεόληπτοι.

Σταυρὸν ὁπλισάμενοι οἱ ἀθλοφόροι σου Κύριε, καὶ σῷ ζήλῳ πυρούμενοι, εἰδώλων ἐνέπρυσαν τὰ τεμένη πάντων, καὶ τὰς παρατάξεις τοῦ ἀρχικάκου καθελῶν, Σεραφεὶμ ὁ ἔνδοξος, Δωρόθεος καὶ Ἰάκωβος, βραβεῖα νίκης Δέσποτα, τὴν βασιλείαν ἀπείληφας, παρὰ σοὶ τὴν Οὐράνιον, καὶ πρεσβεύοντες ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἄστρα ἀνατείλαντα ἐκ τῆς Ἑῴας πολύφωτα, καταυγάζοντα σήμερον τὸν Δημήτριον καὶ Βασίλειον σὺν τῷ μονύμῳ Σαράντῃ, ἐκ τοῦ κόσμου τὰ πέρατα, τῶν ἀλγηνῶν ὡς ἀληθῶς καὶ τῶν ἄθλων μεγίσταις λάμψεσι· δι' ὃ ὑμῶν τὴν πανέορτον καὶ φωτοφόρον πανήγυριν, ἑορτάζομεν σήμερον Χριστομάρτυρες ἔνδοξοι. Δόξα ἦχος πλ. δ'.

Ἀθλητικὴν ἀνδρείαν, εὐσεβῶς καθοπλισθέντες, ἀθλοφόροι Χριστοῦ μυστικῶς ὑπερμαχεῖτε, ὑπὲρ ἡμῶν, τῇ δυνάμει αὐτοῦ. τῶν εἰδώλων ἀσεβὲς καὶ τῶν τυράνων ἀποινὲς ἀποδείξαντες μάταιον, καταφρονήσαντες τῶν βασάνων καὶ τοῦ προσκαίρου πυρὸς πανόλβιοι· ἀλλ' ὦ θείων Μαρτύρων ἑξακτὶς μὴ παύσῃ πρεσβεύειν ὑπὲρ ἡμῶν πρὸς Κύριον. Καὶ νῦν ἦχ. δ'. τῆς Κοιμήσεως.

Τὴν πανσεπτόν σου Κοίμησιν Παναγία Παρθένε ἁγνή, τῶν Ἀγγέλων τὰ πλήθη ἐν οὐρανῷ, καὶ ἀνθρώπων τὸ γένος ἐπὶ τῆς γῆς μακαρίζομεν· ὅτι Μήτηρ γέγονας τοῦ ποιητοῦ τῶν ἁπάντων Χριστοῦ τοῦ Θεοῦ. Αὐτὸν ἱκετεύουσα, ὑπὲρ ἡμῶν μὴ παύσῃ, δεόμεθα, τῶν εἰς σὲ μετὰ Θεὸν τὰς ἐλπίδας θεμένων Θεοτόκε πανύμνητε καὶ ἀπειρόγαμε. Δοξολογία Μεγ. καὶ Ἀπόλυσις.

Εἰς τὴν Λειτουργίαν· τὰ τυπικὰ καὶ ἐκ τοῦ κανόνος τῶν Μαρτύρων ἡ γ'. καὶ ς' ᾠδή. Ὁ Ἀπόστολος. Προκείμενον ἦχος πλ. δ'.

Σύ, Κύριε, φυλάξας ἡμᾶς καὶ διατηρῆσαι ἡμᾶς.

Στίχ. Σῶσόν με. Κύριε, ὅτι ἐκλέλειπεν ὅσιος.

www.tezaurliturgic.ro



Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Ἀδελφοί, τοσοῦτον ἔχοντες περικείμενον ὑμῖν νέφος Μαρτύρων, ὄγκον ἀποθέμενοι πάντα, καὶ τὴν εὐπερίστατον ἁμαρτίαν, δι' ὑπομονῆς τρέχωμεν τὸν προκείμενον ἡμῖν ἀγῶνα, ἀφορῶντες εἰς τὸν τῆς πίστεως ἀρχηγὸν καὶ τελειωτὴν Ἰησοῦν· ὃς ἀντὶ τῆς προκειμένης αὐτῷ χαρᾶς ὑπέμεινε σταυρόν, αἰσχύνης καταφρονήσας, ἐν δεξιᾷ τε τοῦ Θρόνου τοῦ Θεοῦ ἐκάθισεν. Ἀναλογήσασθε γὰρ τὸν τοιαύτην ὑπομεμενηκότα ὑπὸ τῶν ἁμαρτωλῶν εἰς αὐτὸν ἀντιλογίαν, ἵνα μὴ κάμητε, ταῖς ψυχαῖς ἡμῶν ἐκλυόμενοι. Οὔπω μέχρις αἵματος ἀντικατέστησε, πρὸς τὴν ἁμαρτίαν ἀνταγωνιζόμενοι· καὶ ἐκλέλησθε τῆς παρακλήσεως, ἥτις ὑμῖν ὡς υἱοῖς διαλέγεται. Υἱέ μου, μὴ ὀλιγώρει παιδείας Κυρίου, μηδὲ ἐκλύου ὑπ' αὐτοῦ ἐλεγχόμενος· ὃν γὰρ ἀγαπᾷ Κύριος παιδεύει· μαστιγοῖ δὲ πάντα υἱὸν ὃν παραδέχεται. Εἰ παιδείαν ὑπομένετε, ὡς υἱοῖς ὑμῖν προσφέρεται ὁ Θεός· τίς γάρ ἐστιν υἱός, ὃν οὐ παιδεύει πατήρ; Εἰ δὲ χωρίς ἐστε παιδείας, ἧς μέτοχοι γεγόνασι πάντες, ἄρα νόθοι ἐστὲ καὶ οὐχ' υἱοί. Εἶτα τοὺς μὲν τῆς σαρκὸς ἡμῶν πατέρας εἴχομεν παιδευτάς, καὶ ἐνετρεπόμεθα· οὐ πολλῷ μᾶλλον ὑποταγησόμεθα τῷ Πατρὶ τῶν πνευμάτων, καὶ ζήσομεν; Οἱ μὲν γὰρ πρὸς ὀλίγας ἡμέρας, κατὰ τὸ δοκοῦν αὐτοῖς, ἐπαίδευον ὁ δὲ ἐπὶ τὸ συμφέρον, εἰς τὸ μεταλαβεῖν τῆς ἁγιότητος αὐτοῦ. Ἀλληλούϊα ἦχος δ'.

Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.

Στ. Ὅτι ἐδοκίμασας ἡμᾶς ὁ Θεός. Εὐαγγέλιον. Ἐκ τοῦ κατὰ Ματθαῖον.

Εἶπεν ὁ Κύριος τὴν παραβολὴν ταύτην· Ὡμοιώθη ἡ Βασιλεία τῶν οὐρανῶν ἀνθρώπῳ οἰκοδεσπότῃ, ὅς τις ἐξῆλθεν ἅμα πρωῒ μισθώσασθαι ἐργάτας εἰς τὸν ἀμπελῶνα αὐτοῦ. Συμφωνήσας δὲ μετὰ τῶν ἐργατῶν ἐκ δηναρίου τὴν ἡμέραν, ἀπέστειλεν αὐτοὺς εἰς τὸν ἀμπελῶνα αὐτοῦ. Καὶ ἐξελθὼν περὶ τὴν τρίτην ὥραν, εἶδεν ἄλλους ἑστῶτας ἐν τῇ ἀγορᾷ ἀργούς, καὶ ἐκείνοις εἶπεν· Ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα, καὶ ὃ ἐὰν ᾖ δίκαιον, δώσω ὑμῖν. Οἱ δὲ ἀπῆλθον. Πάλιν δὲ ἐξελθὼν περὶ ἕκτην καὶ ἐννάτην ὥραν, ἐποίησεν ὡσαύτως. Περὶ δὲ τὴν ἑνδεκάτην ὥραν ἐξελθών, εὗρεν ἄλλους ἑστῶτας ἀργούς, καὶ λέγει αὐτοῖς·



Τί ὧδε ἑστήκατε ὅλην τὴν ἡμέραν ἀργοί; Λέγουσιν αὐτῷ· ὅτι οὐδεὶς ἡμᾶς ἐμισθώσατο. Λέγει αὐτοῖς· Ὑπάγετε καὶ ὑμεῖς εἰς τὸν ἀμπελῶνα, καὶ ὃ ἐὰν ᾖ δίκαιον, λήψεσθε. Ὀψίας δὲ γενομένης, λέγει ὁ Κύριος τοῦ ἀμπελῶνος τῷ ἐπιτρόπῳ αὐτοῦ· Κάλεσον τοὺς ἐργάτας, καὶ ἀπόδος αὐτοῖς τὸν μισθόν, ἀρξάμενος ἀπὸ τῶν ἐσχάτων ἕως τῶν πρώτων. Καὶ ἐλθόντες οἱ περὶ τὴν ἑνδεκάτην ὥραν, ἔλαβον ἀνὰ δηνάριον. Ἐλθόντες δὲ οἱ πρῶτοι, ἐνόμισαν ὅτι πλείονα λήψονται· καὶ ἔλαβον καὶ αὐτοὶ ἀνὰ δηνάριον. Λαβόντες δὲ ἐγόγγυζον κατὰ τοῦ οἰκοδεσπότου, λέγοντες· Ὅτι οὗτοι οἱ ἔσχατοι μίαν ὥραν ἐποίησαν, καὶ ἴσους ἡμῖν αὐτοὺς ἐποίησας, τοῖς βαστάσασι τὸ βάρος τῆς ἡμέρας καὶ τὸν καύσωνα. Ὁ δὲ ἀποκριθείς, εἶπεν ἑνὶ αὐτῶν· Ἑταῖρε, οὐκ ἀδικῶσε· οὐχὶ δηναρίου συνεφώνησάς με; ἆρον τὸ σόν, καὶ ὕπαγε· θέλω δὲ τούτῳ τῷ ἐσχάτῳ δοῦναι, ὡς καὶ σοί· ἢ οὐκ ἔξεστί μοι ποιῆσαι, ὃ θέλω ἐν τοῖς ἐμοῖς; Εἰ ὁ ὀφθαλμός σου πονηρός ἐστιν, ὅτι ἐγὼ ἀγαθός εἰμί; Οὕτως ἔσονται οἱ ἔσχατοι πρῶτοι, καὶ οἱ πρῶτοι ἔσχατοι· πολλοὶ γάρ εἰσι κλητοί, ὀλίγοι δὲ ἐκλεκτοί.

Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον ἔστε δίκαιον. Ἀλληλούϊα. Μεγαλ.

Ἄστρα ἀνατέταλκας φαεινᾶ ἐκ τῆς τῶν Μεγάρων, οἱ πολύαθλοι τοῦ Χριστοῦ, Μάρτυρες φωτίζων, πιστῶν ἅπαν τὸ πλῆθος, ἐξαρίθμους τοὺς θείους οὓς νῦν γεραίρομεν.

Φρουρεῖτε τοὺς σοὺς δούλους ὦ ἀθληταί, τοὺς ἀθροιζομένους, ἐν Ναῷ Ὑμῶν τῷ σεπτῷ, ὑμνοῦντας μετὰ πόθου, ὑμᾶς τοὺς ἀθλοφόρους ἀξιοθαύμαστοι.

Ἐκ κινδύνων καὶ πειρασμῶν, καὶ παντοίων νόσων, τοὺς τιμόντας ἰώμενοι, ὑμῶν τὴν μνήμην θεῖοι, ὦ θύματα Τριάδος, καὶ ἀπροσμάχητοι.

Τοὺς μεγάλους ὁπλίτας καὶ μαχητάς, καὶ στεφανοφόρους, θαυμαστοὺς ἐν τοῖς Μάρτυσιν, τοὺς λόγχῃ τρωθέντας, πλευρὰν ὡς ὁ Δεσπότης ὕμνοις τιμήσωμεν.

Τοὺς τῇ πίστει ἐμμείναντας, καὶ ῥεύσαντας αἷμα, εὐσεβάστως τιμήσωμεν σὺν πόθῳ οἱ πάντες τὴν λύσιν ἐγκλημάτων, παρ' οἷς προσμένομεν.

www.tezaurliturgic.ro

# ΒΙΟΓΡΑΦΙΑ ΚΑΙ ΘΑΥΜΑΤΑ

## ΤΩΝ ΕΝ ΜΕΓΑΡΟΙΣ ΑΝΕΥΡΕΘΕΝΤΩΝ ΑΓΙΩΝ ΜΑΡΤΥΡΩΝ

# ΣΕΡΑΦΕΙΜ, ΔΩΡΟΘΕΟΥ, ΙΑΚΩΒΟΥ, ΔΗΜΗΤΡΙΟΥ ΒΑΣΙΛΕΙΟΥ ΚΑΙ ΣΑΡΑΝΤΗ

ΑΥΓΟΥΣΤΟΥ 6 (ΣΤ'.)

Πάλαι μὲν ἡ τῶν Μεγάρων κωμόπολις κτισθεῖσα παρὰ τῶν προγόνων μας ἐπὶ τῆς βασιλείας τοῦ Καρός, τοῦ υἱοῦ Φορωνέως ἀφιερώθη πρὸς τὴν Δήμητραν εἰς δόξαν θρησκευτικήν· παρ' ἧς τὴν ἐπωνυμίαν ἐκτήσατο, τουτέστιν καθ' ὑπερβολὴν ἱερά, ἐγκαυχωμένη ἐπὶ τούτῳ. Νῦν δὲ κατ' εὐδοκίαν Θείας συνάρσεως εὐμοιροῦσα, τῶν Νεοφανῶν καὶ Σεβασμίων Ἁγίων Μαρτύρων Σεραφείμ, Δωροθέου, Ἰακώβου, Βασιλείου, Δημητρίου καὶ Σαράντη, καίπερ ἐξ ἀλλεπαλλήλων εἰς ἐκτενεῖ χρόνου διαστήματι συμφορῶν δονηθεῖσα καὶ σμικρυνθεῖσα, τρόπον τινὰ ἀνακαινιζομένη πνευματικῶς, ἀφοσιοῖ, μετὰ Θεόν, πρὸς αὐτοὺς ἅπασαν τὴν τῆς ψυχῆς ἀρρωγήν, καὶ ἐλπίδα, τοσοῦτον σεμνυνομένη διαφόρως ἐκείνων, ὅσον ἡ ἀλήθεια εἰς τὸ ψεῦδος ἀντιβαίνει ὑπερισχύουσα ἀπονέμει τὴν κατ' ἐξαίρεσιν κλῆσιν ἐντούτοις, ἡ εὕρεσις τῶν Ἁγίων αὐτῶν λειψάνων, ἔχουσα οὕτω.

Καὶ πρῶτον περὶ τῶν ἁγίων Σεραφείμ, Δωροθέου καὶ Ἰακώβου.

